Δημόκριτος. 

Αναξιμένης τοίνυν μάλιστα την σελήνην είναι βού- Ιωάννης
λεσθαι εννεακαιδεκαπλασίονα της γης, πλήρη πυ- Λυδός.
ρος ώς εστί τε ήλιον, Ξενοφάνης δε νέφος είναι Περί μη-
πεπυρωμένον, οί Στωϊκοί μικτήν πυρός και αέρος, Πλά- νων 5'.
των εκ πλείονος του πυρώδους, Αναξαγόρας και Δη- σ 36
μόκριτος στερέωμα διάπυρον έχον εν εαυτώ πεδία
και όρη και φάραγγας, Ηράκλειτος γην ομίχλη περιειλημ-
μένην, Πυθαγόρας γε ώς σπυροειδές σώμα.

13. Τη προ δεκαοκτώ καλανδών Φεβρουαρίων ανε- Δ. σ 58
μομαχίαν ο Βάρρων λέγει γίνεσθαι, Δημόκριτος δε
τον λίβα μετά υετού φησι γίνεσθαι.
Τη δε προ δέκα καλανδών Φεβρουαρίων ο Δημόκριτος σ. 59
άνεμον λίβα πνεύσαι λέγει.
Προ δεκαπέντε καλανδών Φεβρουαρίων ο Δημόκριτος λέ-
γει δύεσθαι τον δελφίνα και θρόσιν ώς επί το πολύ γίνεσθαι.

εν δε τη ημέρα των Βακχαναλίων Δημόκριτος δύεσθαι σ 74
τους ιχθύας λέγει, ο δε Βάρρων ανεμομαχίαν έσεσθαι
παραδίδωσιν.

# Δημόκριτος.

σ. 105 80. Τῇ πρὸ τεσσάρων νωνῶν Σεπτεμβρίων ἐνίκησεν ὁ Αὔγουστος παρὰ τὸν Λευκάτην τῆς Αἰγυπτίας μετὰ Ἀντωνίου καὶ Κλεοπάτρας, καὶ διὰ τὴν χάριν τὸν τῆς λεγομένης ἰνδικτιῶνος κύκλον ἐκ προοιμίων τοῦ Σεπτεμβρίου μηνὸς ἀριθμεῖσθαι εἰσήγαγεν. ἐν ταύτῃ τῇ ἡμέρᾳ ὁ Δημόκριτος λέγει ἐναλλαγὴν ἀνέμων συμβαίνειν καὶ βροχῆς ἐπικράτειαν.

σ. 107 87. Τῇ πρὸ μιᾶς νωνῶν Ὀκτωβρίων ὁ Δημόκριτος τοὺς ἐρίφους ἀνίσχειν καὶ βορρᾶν πνεῖν διισχυρίζεται, ὁ δὲ Εὔδοξος δύεσθαι τὸ μέσον τοῦ κριοῦ. ταῖς νώναις Ὀκτωβρίαις ὁ Βάρρων ἐν ἑσπέρᾳ τὰς Πλειάδας ἀνίσχειν καὶ ζέφυρον πνεῖν, ἀλλὰ καὶ λίβα προλέγει.